# ΙΩΑΝΝΟΥ Β

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς
τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ,
καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ
ἐγνωκότες τὴν ἀλήθειαν, 2 διὰ τὴν ἀλήθειαν
τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ᾽ ἡμῶν ἔσται
εἰς τὸν αἰῶνα· 3 ἔσται μεθ᾽ *ἡμῶν χάρις,
ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρός, καὶ παρὰ
†Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός,
ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.
4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου
περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν
ἐλάβομεν παρὰ τοῦ πατρός. 5 Καὶ νῦν ἐρωτῶ
σε, κυρία, οὐχ ὡς ἐντολὴν ‡γράφων σοι
καινήν, §ἀλλὰ ἣν *εἴχομεν ἀπ᾽ ἀρχῆς, ἵνα
ἀγαπῶμεν ἀλλήλους. 6 Καὶ αὕτη ἐστὶν ἡ
ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς
αὐτοῦ. Αὕτη †ἐστὶν ἡ ἐντολή, καθὼς ἠκούσατε
ἀπ᾽ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. 7 Ὅτι
πολλοὶ πλάνοι ‡εἰσῆλθον εἰς τὸν κόσμον, οἱ
μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον
ἐν σαρκί. Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ
ἀντίχριστος. 8 Βλέπετε ἑαυτούς, ἵνα μὴ

---

* **1:3** ημων ¦ υμων ANT PCK SCR † **1:3** κυριου 91.2% ¦ — CT 6.2% ‡ **1:5** γραφων σοι καινην 72.1% ¦ γραφω σοι καινην ST 12.4% ¦ καινην γραφων σοι NA27 SBL TH 9.2% § **1:5** αλλα ¦ αλλ ECM NA28 PCK * **1:5** ειχομεν ¦ εχομεν PCK ¦ ειχαμεν WH † **1:6** εστιν η εντολη ¦ η εντολη εστι CT ‡ **1:7** εισηλθον ¦ εξηλθον ECM NA SBL TH ¦ εξηλθαν WH

§ἀπολέσωμεν ἃ *εἰργασάμεθα, ἀλλὰ μισθὸν
πλήρη ἀπολάβωμεν. 9 Πᾶς ὁ †παραβαίνων καὶ
μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν
οὐκ ἔχει· ‡ὁ μένων ἐν τῇ διδαχῇ §τοῦ Χριστοῦ,
οὗτος καὶ τὸν *πατέρα καὶ τὸν υἱὸν ἔχει. 10 Εἴ
τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν
οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν,
καὶ χαίρειν αὐτῷ μὴ λέγετε· 11 ὁ †γὰρ λέγων
αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς
πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ‡ἐβουλήθην
διὰ χάρτου καὶ μέλανος· §ἀλλὰ ἐλπίζω
*ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα
λαλῆσαι, ἵνα ἡ χαρὰ †ἡμῶν ‡ᾖ πεπληρωμένη.
13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου
τῆς ἐκλεκτῆς. §Ἀμήν.

---

§ **1:8** απολεσωμεν … απολαβωμεν 74.9% ¦ απολεσητε … απολαβητε CT 17% * **1:8** ειργασαμεθα ¦ ειργασασθε TH ¦ ηργασαμεθα WH † **1:9** παραβαινων 99% ¦ προαγων CT 1% ‡ **1:9** ο ¦ ο δε PCK § **1:9** του χριστου 89.3% ¦ — CT 4.5% * **1:9** πατερα και τον υιον ¦ υιον και τον πατερα ECM* † **1:11** γαρ λεγων ¦ λεγων γαρ CT ‡ **1:12** εβουληθην ¦ ηβουληθην ANT TR § **1:12** αλλα ¦ αλλ ECM NA[28] PCK * **1:12** ελθειν 87.1% ¦ γενεσθαι CT 11.4% † **1:12** ημων ¦ υμων ECM* SBL WH ‡ **1:12** η πεπληρωμενη ¦ πεπληρωμενη η NA[27] SBL WH § **1:13** αμην 89% ¦ — CT 8.8%

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.
The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:
Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.
The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-14

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 23 Apr 2024
ebdf933b-03a4-5add-853f-51a05e168973